σεται δικασταῖς τοῖς ἐντευξομένοις, ὡς καὶ ἐθελῆσαι παρ' 568A αὐτῶν τί τὸ ἄμεινον ἢ τί τὸ χεῖρον ἀναμαθεῖν · | οἴεται δέ που, κατὰ τὸ εἰκός, οὐχ ἑτέρως τῆς ἐνούσης αὐτῷ δόξης περὶ Θεοῦ ἐπαινέτας ἔσεσθαί τινας εἰ μὴ κακύνοιτο τὰ Χριστιανῶν ἀντιπαραθέσει τῶν ἑλληνικῶν τὴν αἰσχίω ψῆφον ἐφ' ἑαυτοῖς δεχόμενα. Ἀλλ' οὐκ ἂν γένοιτο τοῦτό ποτε παρά γε τοῖς εἰδόσι καὶ τοῦ ψεύδους τὸ ἀδρανὲς καὶ τῆς ἀληθείας τὴν δύναμιν. Πλὴν ἐκεῖνο ἄθρει · νομοθετῶν γὰρ ὥσπερ ἡμῖν τὸ χρῆναι σιγᾶν καὶ τῶν αὐτοῦ διαμεμνῆσθαι μηδενὸς ὅτε τοὺς ὑπέρ γε τῆς ἑαυτῶν θρησκείας ποιούμεθα λόγους, οἷς ἀπέφησεν αὐτὸς ἁλοὺς εὑρίσκεται.

Ἐπειδὴ δὲ προσάγει καὶ πεῦσιν, τί δή ποτε τὰ Ἑλλήνων ἀφέντες τοῖς Ἑβραίοις προσκεκλίμεθα, φέρε καὶ ἡμεῖς αὐτῷ τὰ ἴσα λέγωμεν · 'ἀνθ' ὅτου γὰρ δὴ τὰ Χριστιανῶν ἀφεὶς καὶ τῆς ἀληθείας ἀποδραμὼν τὸ ψεῦδος ἀγαπᾷς, καὶ τὴν οὕτω B μυσα|ρωτάτην ἐθελοθρησκείαν – τὴν τῶν εἰδωλολατρούντων φημί – τῆς ἀκριβοῦς περὶ Θεοῦ δόξης ἀνοητότατα προτιθείς, εἶτα οἴει βεβουλεῦσθαι καλῶς καὶ οὐχὶ δὴ μᾶλλον τὴν ἁπασῶν ἐσχάτην ὑπομεῖναι κακοδοξίαν;' Εἰ δὲ δὴ βούλοιτο νοεῖν τὴν ἀληθεστάτην αἰτίαν ἐφ' ᾗ τὰ Ἑλλήνων ἀφέντες τὰ παρὰ τοῖς Ἑβραίοις τετιμήκαμεν, τὰ αὐτοῦ λαβόντες φαμέν. Ἔφη γὰρ οὕτως ·

## 11. ΙΟΥΛΙΑΝΟΣ

Οὐκοῦν Ἕλληνες μὲν τοὺς μύθους ἔπλασαν ὑπὲρ τῶν θεῶν ἀπίστους καὶ τερατώδεις (καταπιεῖν γὰρ ἔφασαν τὸν Κρόνον τοὺς παῖδας, εἶτ' αὖθις ἐμέσαι) καὶ γάμους ἤδη παρανόμους · μητρὶ γὰρ ὁ Ζεὺς ἐμίχθη, καὶ παιδοποιησάμενος ἐξ αὐτῆς, ἔγημε μὲν αὐτὸς τὴν αὐτοῦ θυγατέρα – μᾶλλον δὲ οὐδὲ ἔγημεν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417119143/72 UNIVERSITÄT LEIPZIG